www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΣΙΜΩΝΑ ΤΟΝ ΜΥΡΟΒΛΥΤΗΝ,
## ΚΤΙΤΟΡΑ ΤΗΣ ΕΝ ΑΓΙῼ ΟΡΕΙ ΙΕΡΑΣ ΜΟΝΗΣ ΣΙΜΩΝΟΣ ΠΕΤΡΑΣ



Συνετέθη ὑπὸ τοῦ Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
τῇ πατρικῇ εὐλογίᾳ τοῦ Πανοσιολογιωτάτου ἁγίου Καθηγουμένου
Ἀρχιμανδρίτου κ. Ἐλισαίου

* 2009 *



ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ & ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΣΙΜΩΝΑ ΤΟΝ ΜΥΡΟΒΛΥΤΗΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς ΡΜΒ´(142)*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ᾖρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*εἶτα τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*
*Ἦχος δ´ Ὁ ὑψωθείς.*

Τὸν περιλάλητον πιστοὶ Μυροβλύτην, καὶ πανυπέρτιμον Χριστοῦ μαργαρίτην, τῶν μοναζόντων ἔρεισμα καὶ θεῖον ἀσκητήν, πάντες εὐφημήσωμεν, πρὸς αὐτὸν ἐκβοῶντες· Σίμων μάκαρ φύλαττε, ἐξ ἐχθρῶν ἐπηρείας, ἣν ἐδομήσω Νέαν Βηθλεέμ, ὁδηγηθείς, δι' ἀστέρος τρισόλβιε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνͅ τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςͅ οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

*Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:*

***«Σὴν Νέαν Βηθλεὲμ σκέπασον, πάτερ Σίμων. Ἀ(θανάσιος)».***

*Ὠδὴ α´. Ἦχος πλ.δ´. Ὑγρὰν διοδεύσας.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Στενὴν διοδεύσας Σίμων ὁδόν, φωτὸς ἐπληρώθης, Παραδείσου τοῦ ποθητοῦ, ἐξ οὗ τοῖς σοῖς τέκνοις ἐπιλάμψεις, ταῖς πρὸς Δεσπότην πρεσβείαις κατάπεμψον.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἡλίευσας Σίμων τὸν νοητόν, Χριστὸν μαργαρίτην, ἐν θαλάσσῃ ἀσκητικῇ, Ὃν ἔχων τρυφήν σου καθ' ἡμέραν, ὑπὲρ Μονῆς σου καὶ τέκνων ἱκέτευε.

*Δόξα Πατρί.*

Νοῦν Σίμων καθάρας ταῖς προσευχαῖς, καὶ πάθη διώξας, ὑπακούων τῷ σῷ πατρί, ἡμᾶς τοὺς τιμῶντάς σε ἐν ὕμνοις, ὑπακοῆς ἀθλητὰς δεῖξον Ὅσιε.

*Καὶ νῦν καὶ ἀεί.*

Ναοὺς ἡμᾶς ποίησον τοῦ Χριστοῦ, ὡς πάλαι Παρθένε, ναὸν ἔδειξας θαυμαστόν, τὸν Σίμωνα λάτρην τοῦ Υἱοῦ σου, Ὅστις αὐτὸν ἐν τῷ Ἄθῳ ἐδόξασεν.

*Ὠδὴ γ´. Οὐρανίας ἁψῖδος.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἐκ τοῦ κόσμου εἰς Ἄθω, τὸν ἱερὸν ἔφθασας, πάντα τὰ τερπνὰ καταλείψας καὶ τὰ ἐπίκηρα, ὅλον τὸν πόθον σου, πρὸς Ἰησοῦν μόνον ἔχων, Ὃν ὑπὲρ τῆς ποίμνης σου, Σίμων ἱκέτευε.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἀποστὰς θαυμασίως τῶν μεριμνῶν Ὅσιε, ἐν τῆς ἡσυχίας πελάγει, εὐχῇ συνέπλεες, καὶ ὡς ἐμπόρευμα, τῶν ἀρετῶν πλῆθος ἔσχες, ἐξ ὧν τοῖς ὑμνοῦσί σε, Σίμων χορήγησον.

*Δόξα Πατρί.*

Νικητὴς ἀνεφάνης πρὸς τὸν ἐχθρὸν Ὅσιε, ὅστις πειρασμοῖς σε ποικίλοις, νικῆσαι ᾤετο· ὅθεν τὰ τέκνα σου, κατὰ ἐχθροῦ μανιώδους, Σίμων ἐνδυνάμωσον, χάριτι Πνεύματος.

*Καὶ νῦν καὶ ἀεί.*

Βηθλεὲμ κτῖσαι Νέαν τῷ ἀσκητῇ εἴρηκας, ἐπὶ ὑψιβάμονα Πέτραν, Ἁγνὴ Πανάχραντε, ἐφ' ἣν οἰκήσαντες, φαγεῖν τὸν Ἄρτον ζητοῦμεν, Ὃν ἀῤῥήτως ἔψησας, ἐν τῇ κοιλίᾳ σου.

Διάσωσον, τὴν κληρουχίαν σου Ὅσιε Σίμων, ἀπὸ πάσης τοῦ δυσμενοῦς περιστάσεως, ὑψῶν τὰς χεῖρας πρὸς Θεόν, ὡς πατὴρ φιλοικτίρμων.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Μονὴν ἱερὰν καὶ τέκνα σου διάσωσον, ὦ Σίμων σεπτέ, ἐκ πάσης περιστάσεως, καὶ δοχεῖα Πνεύματος, ταῖς εὐχαῖς σου ἀνάδειξον, ὅπως τιμῶμεν εὐλαβῶς, τὴν μνήμην σου μακάριε.

*ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἡ ἀγάπη ἣν ἔδειξας, πρὸς τὸν παιδοτρίβην σου Σίμων Ὅσιε, καὶ ἡμῖν κανὼν ἀσκήσεως, γένοιτο εὐχαῖς ταῖς φιλοτέκνοις σου.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Θανατώσας πᾶν θέλημα, τῇ ὑπακοῇ σου Σίμων τρισόλβιε, ταύτην δῶρον πανυπέρτιμον, τοῖς οἰκοῦσι Πέτραν σου χορήγησον.

*Δόξα Πατρί.*

Λῦσον πάθη δεσμεύοντα, τὰς ψυχὰς σῶν τέκνων Σίμων πανόσιε, καὶ πτερὰ Ἁγίου Πνεύματος, πάρεχε πρὸς γῆθεν μεταρσίωσιν.

www.tezaurliturgic.ro

*Καὶ νῦν καὶ ἀεί.*

Ἐν νυκτὶ καὶ ἡμέρᾳ τε, ὕψωσον τὰς χεῖράς σου Παναμώμητε, καὶ τὴν χάριν Θείου Πνεύματος, ἐφ' ἡμᾶς κατάγαγε πρεσβείαις σου.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἔστης ἀσφαλῶς, ἐπὶ πέτραν θείας πίστεως, ὅθεν Σίμων κατηξίωσαι, τὴν τῆς Πέτρας, σοῦ Μονὴν οἰκοδομήσασθαι.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Μεῖνον μεθ' ἡμῶν, Σίμων ὅσιε καὶ πρόστηθι, ὅταν τὰ κύματα ὁρμῶσι πειρασμῶν, καὶ κρημνίσαι ἡμᾶς θέλωσιν εἰς ἔρεβος.

*Δόξα Πατρί.*

Σοῦ ὑπὲρ ἡμῶν, εὐχομένου Πάτερ Ὅσιε, ἐχθροῦ ἡ πλάνη ἀφανίζεται, καὶ Κυρίου ἐκτελεῖται θεῖον θέλημα.

*Καὶ νῦν καὶ ἀεί.*

Κόσμησον ἡμῶν, τὰς καρδίας Παναμώμητε, τῷ τοῦ Δεσπότου θείῳ ἔρωτι, ὥσπερ καρδίαν, κατεκόσμησας τοῦ Σίμωνος.

*ᾨδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἐκάθηρας σεαυτὸν πανόσιε, ὡς ναὸν προσκυνητὸν τοῦ Δεσπότου, καὶ λειτουργῶν, ἐν εὐχαῖς καὶ νηστείαις, λαμπρὸν ἐπώφθης καὶ θεῖον ἀνάκτορον, διὸ ἐνίσχυσον ἡμᾶς, ἀσκητεύειν ἐν νήψει καί χάριτι.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Πεποίκιλσαι, Σίμων πάτερ ὅσιε, ὑπενδὺς τὴν ἀρετόπλεκτον χλαῖναν, δι' ἧς φωστήρ, ἐν τῷ Ὄρει τοῦ Ἄθω, ὑπὸ Χριστοῦ ἀνεδείχθης ὑπέρλαμπρος, φωτίζων πάντας τοὺς πιστῶς, μελετῶντας λαμπρὰν πολιτείαν σου.

*Δόξα Πατρί.*

Ἀνάστησον, ἐκ παντοίας πτώσεως, τοὺς ἐκ πόθου αἰτουμένους σου Σίμων, ὥσπερ ποτέ, ἀβλαβῆ τὸν πεσόντα,ἐν τῇ ἀβύσσῳ διάκονον ἔσωσας,
καὶ στήριξον ἡμῶν σφυρά, ἐξ ἐχθροῦ ἐπηρείας κλονούμενα.

*Καὶ νῦν καὶ ἀεί.*
Συνέτισον, Θεοτόκε Πάναγνε, τοὺς ὑμνοῦντάς σε ἐκ πόθου καρδίας, ὥστε στεῤῥῶς, τὴν πορείαν βαδίζειν, ἁγιασμοῦ οὗ χωρίς τις δυνήσεται, ἰδεῖν τὸ Πρόσωπον Χριστοῦ, Ὅπερ Σίμων ὁρᾷ ὁ τρισόλβιος.

Διάσωσον, τὴν κληρουχίαν σου Ὅσιε Σίμων, ἀπὸ πάσης τοῦ δυσμενοῦς περιστάσεως, ὑψῶν τὰς χεῖρας πρὸς Θεόν, ὡς πατὴρ φιλοικτίρμων.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*
Ἣν ἐδόμησας Μάνδραν ὑψίθωρον, περιφύλαττε Σίμων πανόσιε, ἐκ τῶν σκανδάλων καὶ τῶν πειρασμῶν, χορηγῶν σοῖς φοιτηταῖς, τὴν εἰρηνόδωρον Χριστοῦ, ἐξ εὐχῆς θείαν ἄνεσιν. Πάντας δὲ ἀξιώσαις, δείπνου ἐν Παραδείσῳ, ἔνθα ὁ Ἄρτος τῆς ζωῆς, τοῖς ἀξίοις βρωθήσεται.

*Προκείμενον.* Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
*Στίχος.* Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.

**ΕΥΑΓΓΕΛΙΟΝ**
**Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

*Δόξα Πατρί.*
Σίμωνος Ὁσίου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη,

www.tezaurliturgic.ro

τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.
*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*
*Στίχ. Ἐλέησόν με ὁ Θεός...Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*
Σίμων πανσεβάσμιε, φωστὴρ τοῦ Ἄθωνος Ὄρους, ἀσκητὰ χριστόψυχε, τῆς Μονῆς σου ἕδρασμα ἀκατάπληκτον, τὰς ἁγίας χεῖράς σου, πάντοτε ἀνύψου, χορηγῶν τοῖς ἀνυμνοῦσί σε, Ἁγίου Πνεύματος τὰ εὐλογημένα χαρίσματα, ὅπως ὁδὸν ἀσκήσεως, πάντες φιλοχρίστως τελέσωμεν, καὶ ἀξιωθῶμεν, Νεοβηθλεεμίτου Ἰησοῦ, τῆς ποθουμένης συστάσεως, ἅμα σοι φιλότεκνε.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*
Οὐρανόθεν ἀστέρα, εἶδες ἐπὶ Πέτραν Σίμων κρεμάμενον, ἵδρυσιν Μονῆς σου, φανεροῦντα Χριστοῦ τῆς Γεννήσεως, ἣν ἐγείρας πόθῳ, νῦν διαφύλαττε ἁπάσης, πονηροῦ ἐπηρείας ἀλώβητον.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*
Νικητὴς ἀνεδείχθης, ὅτε ὁ ἀρχαῖος δράκων σε ἔπαισε, θέλων ἐκδιῶξαι, τοῦ Σπηλαίου ἐν ᾧ καθηγίασαι· ὅθεν πάτερ Σίμων, ὑπομονὴν ἡμῖν παράσχου, ἐν ἐχθροῦ προσβολαῖς ἀκατάβλητον.

*Δόξα Πατρί.*
Πορευθεὶς ἐν Κυρίῳ, ἅπαντα τὸν βίον σου Θεῷ κατέλιπες, Ὅστις ἤνεγκέ σοι, μαθητὰς καὶ Μονήν σου ἀνέκτισεν· διὸ θεῖε Σίμων, ἡμῶν τὸν βίον τῷ Δεσπότῃ, ἀφιέναι πιστότητι δίδαξον.

*Καὶ νῦν καὶ ἀεί.*
Ἀθωνίτισσα Μῆτερ, Σίμωνα ἀνέδειξας ἄνθος περίδοξον, τοῦ σοῦ Περιβόλου, ὃν ἐδόξασε πλείστοις ἐν θαύμασι, καὶ νῦν ἱκετεύει, σὺν τῷ χορῷ Ἁγίων Πάντων, ὑπὲρ ποίμνης καὶ Ὄρους τὸν Κύριον.
*ᾨδὴ η΄. Τὸν βασιλέα.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

www.tezaurliturgic.ro

Τριάδα ἔσχες, φοιτητῶν συγκτιτόρων, τῆς Τριάδος τῇ νεύσει θεῖε Σίμων, Ἣν καθικετεύοις, ὑπὲρ σῆς θείας Μάνδρας.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἐκ Πέτρας μέλι, πνευματικὸν Πάτερ Σίμων, τοῖς σοῖς τέκνοις πηγάζεις διανέμων, πᾶσι φιλοτέκνως, τὰ πρὸς τὴν σωτηρίαν.

*Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον ὑμνοῦμεν.*

Ῥεύματα μύρων, ἐκ τοῦ σεπτοῦ σου λειψάνου, Μυροβλύτην ὠνόμασάν σε Σίμων, δι' ὧν πάλιν ποίμνην, ἀξίωσον χαρῆναι.

*Καὶ νῦν καὶ ἀεί.*

Σὸς κλῆρος ἔφυ, αὕτη τοῦ Σίμωνος Μάνδρα, Παναγία κτισθεῖσα σῇ προστάξει, ἣν περιφυλάττοις, σῇ ὑπερμάχῳ σκέπῃ.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἰάτρευσας κατ' ἄμφω, τοὺς ἐπιδραμόντας, ἀγαρηνοὺς σῇ εὐχῇ Σίμων ὅσιε, μεθ' ὧν καὶ πάντων τιμώντων, νόσους ἰάτρευσον.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Μονήν σου δεῖξον Σίμων, ἕως τοῦ αἰῶνος, ἁγιασμοῦ ἐργαστήριον πάντιμον, ἐν ᾗ Χριστῷ συναφθῶσιν, οἱ ἐνασκούμενοι.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὡς κόρην βασιλέως, Σίμων δαιμονίου, ἀπηλευθέρωσας θείαις πρεσβείαις σου, οὕτω ψυχὰς ὑμνητῶν σου, τούτου ἀπάλλαξον.

*Δόξα Πατρί.*

Νῦν βλέπων τὸν Σωτῆρα, Ὃν ἐν τῇ ζωῇ σου, ἐπιποθῶν πάτερ Σίμων ἐξήσκησας, ὑπὲρ Μονῆς καὶ σῶν τέκνων, Τοῦτον ἱκέτευε.

*Καὶ νῦν καὶ ἀεί.*

www.tezaurliturgic.ro

Ἀγάπην τοῦ Υἱοῦ σου, δίδου Θεοτόκε, τοῖς κατοικοῦσιν ἐν Πέτρᾳ τοῦ Σίμωνος, ὅπως τὸ Ἅγιον Ὄρος, ἔργοις δοξάσωμεν.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξωτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*καὶ τὰ ἑξῆς Μεγαλυνάρια*

Σίμωνα τὸν μέγαν ἐν ἀσκηταῖς, καὶ τῶν ἐν τῷ Ἄθῳ, μοναζόντων ὑπογραμμόν· τὸν τὰς πανουργίας, ἐχθροῦ καταβαλόντα, τὸν θεῖον Μυροβλύτην, ὕμνοις τιμήσωμεν.

Φύλαττε Μονήν σου τὴν ἱεράν, Σίμων Μυροβλύτα, ἀπὸ πείνης τε καὶ σεισμοῦ, πλημμύρας ὑδάτων, καὶ πάσης ἄλλης βλάβης, ὅπως τιμᾷ ἀξίως, Πάτερ τὴν μνήμην σου.

Τῆς Μονῆς σου σκέπε Σίμων σοφέ, σεπτὸν Προεστῶτα, καὶ ἐνίσχυε σαῖς εὐχαῖς, ὅπως φιλοθέως, τὴν ἱεράν σου ποίμνην, καθοδηγῇ καὶ τρέφῃ, θείοις διδάγμασι.

Τέκνα σου ὑπάρχοντες ταπεινά, σὲ ἐκδυσωποῦμεν, Σίμων Πάτερ ἡμῶν κλεινέ, σὺν τῇ Μυροφόρῳ Μαγδαληνῇ Μαρίᾳ, μὴ παύσητε πρεσβεύειν, πρὸς τὸν Φιλάνθρωπον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*
*καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ’ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

www.tezaurliturgic.ro

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*
*Ἦχος β.΄ Ὅτε ἐκ τοῦ ξύλου σε.*

Σίμων Μυροβλῦτα θαυμαστέ, Κτίτορ Βηθλεέμ σου τῆς Νέας, ταύτην περίσκεπε· καὶ πτωχὰ τεκνία σου, εὐχαῖς εὐλόγησον, ὅπως λέοντες φαίνωνται, κατὰ διαβόλου, καὶ πολῖται γένωνται, τῆς οὐρανίου Σιών. Ἔνθα σὺ οἰκῶν σὺν Ἁγίοις, καὶ Μαγδαληνῇ Μυροφόρῳ, δυσωπεῖν μὴ παύσητε πρὸς Κύριον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

*Δι᾽ εὐχῶν.*

* * *

*Στίχοι*

Δέξαι ὡς θυμίαμα εὔγνωμον ὕμνον,
Ὃν σοι ἐξύφανα πτωχὸν τέκνον, Σίμων.




Συνετέθη, σὺν Θεῷ ἁγίῳ καὶ εὐχαῖς τοῦ Ὁσίου & Θεοφόρου Πατρός, Ἐφόρου καὶ Δομήτορος τῆς Ἱερᾶς ἡμῶν Μετανοίας, ὁ παρὼν

www.tezaurliturgic.ro

Παρακλητικὸς κανὼν ἐν τῇ αὐτοῦ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω, τῇ 20.8. 2009.